§. ωξγ'. Ἔτι τὰ εἰς ινα θηλυκὰ ὑπερδισύλλαβα, βαρύτονα Αἰκατερίνα. Πλὴν τῦ ἄμυνα, κόρυνα, τῷ υ. ϗ δέσποινα, τῇ οι.

§. ωξδ'. Ἔτι τὰ εἰς ινη, τὰ μὲν ἀπὸ τῶν εἰς ος, ἢ εἰς ης, τῷ ι. Ἄδρασος, ἀδρασίνη. Αἰήτης, Αἰητίνη. τὰ δὲ ῥηματικὰ, ὡς τὸ ῥῆμα. κλίνω γὰρ, κλίνη. ϗ εὐθύνω, εὐθύνη. τἄλλα δὲ τῷ η, εἰρήνη, σελήνη. δίνη δὲ, ϗ ἀξίνη τῷ ι. ϗ κορύνη, ὀδύνη, τορύνη, τῷ υ.

§. ωξέ. Ἔτι τὰ εἰς ινης ἀρσενικὰ, τῷ ι, Αἰσχίνης.

§. ωξς'. Ἔτι τὰ εἰς ινθος ὑπερδισύλλαβα. κόρινθος ὑάκινθος.

§. ωξζ'. Ἔτι τὰ εἰς ινος ὀξύτονα, καιρῦ τε ϗ ὥρας σημαντικά. θερινὸς, χειμερινὸς, ἡμερινός. ἄλλως δὲ τοι παρώνυμα, τῇ ει. ἐλεεινὸς, Φωτεινός. τὸ δὲ ἀληθινὸς, τῷ ι.

§. ωξή. Καὶ τὰ βαρύτονα δὲ εἰς ινος, ὁμοίως τῷ ι. σπῖνος, ἐχῖνος, ξύλινος. Πλὴν τῦ λάγυνος, κόφυνος, εὐφρόσυνος, τῷ υ.

§. ωξθ'. Ἔτι τὰ εἰς ινον ὑδέτερα μονογενῆ. σέλινον, κύμινον. Πλὴν τῦ σίγυνον, τῷ υ. ϗ σκαληνὸν, καρηνον, τῷ η.

§. ωό. Ἔτι τὰ εἰς ιος ὀξύτονα. Ἀσκληπιός. Πλὴν τῦ ἀφνειὸς τῇ ει. ϗ κολοιὸς τῇ οι. τὸ δ' ἐπηὸς, ϗ αἰζηὸς, ἐκ πάθυς τῷ η.

§. ωοά. Ἔτι τὰ εἰς ιον, ϗ ιος βαρύτονα, ὑπερδισύλλαβα. βιβλίον, Γραμμάτιον. ἄξιος. Πλὴν τῶν κτητικῶν, ϗ περιεκτικῶν, ϗ μετυσιαστικῶν. οἰκεῖον, ἀγ-